σωθήσεται; [25]οὕτως λέγει κύριος Ἐάν τις αἰχμαλωτεύσῃ γίγαντα, 25
λήμψεται σκῦλα· λαμβάνων δὲ παρὰ ἰσχύοντος σωθήσεται· ἐγὼ
δὲ τὴν κρίσιν σου κρινῶ, καὶ ἐγὼ τοὺς υἱούς σου ῥύσομαι· [26]καὶ 26
φάγονται οἱ θλίψαντές σε τὰς σάρκας αὐτῶν καὶ πίονται ὡς οἶνον
νέον τὸ αἷμα αὐτῶν καὶ μεθυσθήσονται, καὶ αἰσθανθήσεται πᾶσα
σὰρξ ὅτι ἐγὼ κύριος ὁ ῥυσάμενός σε καὶ ἀντιλαμβανόμενος ἰσχύος
Ιακωβ.

[1]Οὕτως λέγει κύριος Ποῖον τὸ βιβλίον τοῦ ἀποστασίου τῆς 50
μητρὸς ὑμῶν, ᾧ ἐξαπέστειλα αὐτήν; ἢ τίνι ὑπόχρεῳ πέπρακα ὑμᾶς;
ἰδοὺ ταῖς ἁμαρτίαις ὑμῶν ἐπράθητε, καὶ ταῖς ἀνομίαις ὑμῶν ἐξαπ-
έστειλα τὴν μητέρα ὑμῶν. [2]τί ὅτι ἦλθον καὶ οὐκ ἦν ἄνθρωπος; 2
ἐκάλεσα καὶ οὐκ ἦν ὁ ὑπακούων; μὴ οὐκ ἰσχύει ἡ χείρ μου τοῦ
ῥύσασθαι; ἢ οὐκ ἰσχύω τοῦ ἐξελέσθαι; ἰδοὺ τῇ ἀπειλῇ μου ἐξερη-
μώσω τὴν θάλασσαν καὶ θήσω ποταμοὺς ἐρήμους, καὶ ξηρανθή-
σονται οἱ ἰχθύες αὐτῶν ἀπὸ τοῦ μὴ εἶναι ὕδωρ καὶ ἀποθανοῦνται
ἐν δίψει. [3]καὶ ἐνδύσω τὸν οὐρανὸν σκότος καὶ θήσω ὡς σάκκον 3
τὸ περιβόλαιον αὐτοῦ.

[4]Κύριος δίδωσίν μοι γλῶσσαν παιδείας τοῦ γνῶναι ἐν καιρῷ 4
ἡνίκα δεῖ εἰπεῖν λόγον, ἔθηκέν μοι πρωί, προσέθηκέν μοι ὠτίον
ἀκούειν· [5]καὶ ἡ παιδεία κυρίου ἀνοίγει μου τὰ ὦτα, ἐγὼ δὲ οὐκ 5
ἀπειθῶ οὐδὲ ἀντιλέγω. [6]τὸν νῶτόν μου δέδωκα εἰς μάστιγας, τὰς 6
δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπ-
έστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων· [7]καὶ κύριος βοηθός μου ἐγε- 7
νήθη, διὰ τοῦτο οὐκ ἐνετράπην, ἀλλὰ ἔθηκα τὸ πρόσωπόν μου ὡς
στερεὰν πέτραν καὶ ἔγνων ὅτι οὐ μὴ αἰσχυνθῶ. [8]ὅτι ἐγγίζει ὁ δι- 8
καιώσας με· τίς ὁ κρινόμενός μοι; ἀντιστήτω μοι ἅμα· καὶ τίς ὁ
κρινόμενός μοι; ἐγγισάτω μοι. [9]ἰδοὺ κύριος βοηθεῖ μοι· τίς κα- 9
κώσει με; ἰδοὺ πάντες ὑμεῖς ὡς ἱμάτιον παλαιωθήσεσθε, καὶ ὡς
σὴς καταφάγεται ὑμᾶς.

[10]Τίς ἐν ὑμῖν ὁ φοβούμενος τὸν κύριον; ἀκουσάτω τῆς φωνῆς 10
τοῦ παιδὸς αὐτοῦ· οἱ πορευόμενοι ἐν σκότει οὐκ ἔστιν αὐτοῖς

25 init.] pr. οτι *C* (in *O* sub ※) || 26 θλιβοντες A | και $2^0$ > S*† | κυ-
ριος > A

50 1 πεπρακα υμας] pr. των πρασσοντων με ω et add. αυτω *C* (in *O* sub ※)
|| 2 τι οτι] διοτι S*LC*: sic οι ο′ et α′ σ′ teste Q, cf. 3 17 | ουκ ην ο υπακ.]
ουχ υπηκουσεν A† | τη απ(ε)ιλη AQ$S^c$] τω ελεγμω B*LC*, pr. τω ελεγμω μου
και S*† || 3 και $1^0$ AQ$S^c$] > BS**LC* = 𝔐 | θησω / ως σακκον A$S^c$] tr. BS*
Q*LC* = 𝔐 || 4 κυριος] + κυριος $B^c$*LC* = 𝔐: cf. 5. 7. 9 | διδωσιν μοι] tr. S†
| παιδ.] σοφιας A† | εν καιρω A] > BSQ*LC* | πρωι] pr. το A†; + πρωι $S^c$*LC*
= 𝔐 || 5 κυριου] + κυριου BS*: cf. 4 | μου / τα ωτα] tr. A† || 6 δεδωκα
AQ*L*$C^p$] εδωκα BS$C^p$ || 7 κυριος AQ$S^c$] + κυριος BS**LC*: cf. 4 | μου $1^0$]
μοι B*C* | αισχυνθω] pr. κατ S† || 9 κυριος] + κυριος $B^c$: cf. 4 | βοηθησει
BS**C*: sic οι ο′ et α′ θ′ teste Q, cf. 3 17 | ως ult. > BS* = 𝔐 || 10 ακου-
σατω AQ] pr. υπ B*LC*, pr. επ S | ουκ AQ$S^c$] pr. και BS**LC* = 𝔐